altera enim vniuersalis opinio est. altera de particularibus rebus, quibus præsidet sensus. quando autem ex ipsis, vna euaserit: alibi quidem enunciet anima, in effectiuis verò, agat statim, necesse est: vt si omne dulce gustandum est, hoc autem est dulce, vt pote vnum quoddam ex particularibus: necesse est vt qui potest, & non prohibetur, simul hoc quoque agat. Quando igitur vniuersalis opinio inest, quæ prohibeat gustare, altera verò, quæ omne dulce suaue esse dicat: hoc autem est dulce (atque hæc est, quæ operatur) forte verò adest cupiditas: illa quidem fugiendum esse ait, cupiditas, autem dicit: quippe cùm mouere, vnumquodq. ex mēbris queat. Quare fit vt ex ratione quodāmodo & opinione incontinenter quispiā agat: quæ quidem opinio non per se, sed ex accidenti contraria sit. cupiditas enim, non opinio rectæ rationi contraria est. Vnde etiam bestiæ incontinentes propterea non sunt, quia particularium imaginationem & memoriam habent, non vniuersalium existimationem. Quomodo verò soluatur ignorantia, & incontinens rursus efficiatur sciens: eadem ratio est, quæ & de temulento & dormiente, non propria huius affectionis: quæ quidem à naturæ indagatoribus audienda est. Quoniā autē vltima propositio est expositæ sensui rei opinio, actionúmque domina est: hanc vel non habet. qui in affectu est constitutus: vel ita habet: vt non tamen eo quòd habet, eam liceat scire, sed dicere duntaxat, non secus ac vino oppressus Empedoclis carmina. propterea itē quòd vltimus terminus non est vniuersalis, neq. ita vt vniuersalis scientiam efficere videtur. Atq. id quod quærebat Socrates, videtur contingere. non enim affectus existit præsente ea, quæ videtur propriè esse scientia, quippe quæ neque ipsa ex affectu distrahatur: sed præsente ea quæ sensiua est. Vtrum igitur cognoscens necne, & quomodo cognoscens agere incontinenter quispiam possit, hactenus dictum sit.

## CAPVT VI.

IAm verò vtrum aliquis absolutè incontinens sit, an omnes ex parte: etsi sit, circa quæ versetur, dicendum deinceps est. Circa voluptates quidem & dolores continentes & tolerantes, necnon incontinētes & molles versari perspicuum est. Quoniam vero ex iis, quę voluptatem afferunt, alia necessaria sunt, alia eligenda quidem per sé, sed eiusmodi tamen vt excessum etiam habeant: necessaria quæ ad corpus

A ἡ μὲν γὰρ, καθόλου δόξα· ἡ δ' ἑτέρα, περὶ τῶν καθ' ἕκαστά ἐστιν, ὧν αἴσθησις ἤδη κυρία· ὅταν δὲ μία γένηται ἐξ αὐτῶν, ἀνάγκη τὸ συμπερανθὲν, ἔνθα μὲν φάναι τὴν ψυχὴν, ἐν δὲ ταῖς ποιητικαῖς πράττειν εὐθὺς οἷον, εἰ παντὸς γλυκέος γεύεσθαι δεῖ, τουτὶ δὲ γλυκὺ, ὡς ἕν τι τῶν καθ' ἕκαστον, ἀνάγκη τὸν δυνάμενον καὶ μὴ κωλυόμενον, ἅμα τούτῳ καὶ πράττειν. ὅταν οὖν, ἡ μὲν καθόλου ἐνῇ, ἡ B κωλύουσα γεύεσθαι· ἡ δὲ, ὅτι πᾶν τὸ γλυκὺ, ἡδύ· τουτὶ δὲ, γλυκύ· αὕτη δὲ ἐνεργεῖ· τύχῃ δὲ ἐπιθυμία ἐνοῦσα, ἡ μὲν λέγει φεύγειν τοῦτο· ἡ δὲ ἐπιθυμία ἄγει· κινεῖν γὰρ ἕκαστον δύναται τῶν μορίων· ὥστε συμβαίνειν ὑπὸ λόγου πως καὶ δόξης ἀκρατεύεσθαι. οὐκ ἐναντίας δὲ καθ' αὑτὴν, ἀλλὰ κατὰ συμβεβηκός. ἡ γὰρ ἐπιθυμία, ἐναντία, ἀλλ' C οὐχ ἡ δόξα, τῷ ὀρθῷ λόγῳ· ὥστε καὶ διὰ τοῦτο τὰ θηρία οὐκ ἀκρατῆ, ὅτι οὐκ ἔχει καθόλου ὑπόληψιν, ἀλλὰ τῶν καθ' ἕκαστα φαντασίαν καὶ μνήμην. πῶς δὲ λύεται ἡ ἄγνοια, καὶ πάλιν γίνεται ἐπιστήμων ὁ ἀκρατὴς, ὁ αὐτὸς λόγος καὶ περὶ οἰνωμένου καὶ καθεύδοντος, καὶ οὐκ ἴδιος τούτου τοῦ πάθους, ὃν δεῖ παρὰ τῶν φυσιολόγων ἀκούειν. ἐπεὶ δ' ἡ τελευταία πρότασις, δόξα τε αἰσθητοῦ, καὶ D κυρία τῶν πράξεων, ταύτην ἢ οὐκ ἔχει ὁ ἐν τῷ πάθει ὢν, ἢ οὕτως ἔχει, ὡς οὐκ ἦν τῷ ἔχειν ἐπίστασθαι, ἀλλὰ λέγειν, ὥσπερ ὁ οἰνωμένος τὰ Ἐμπεδοκλέους· καὶ διὰ τὸ μὴ καθόλου, μηδ' ἐπιστημονικὸν ὁμοίως εἶναι δοκεῖν τῷ καθόλου τὸν ἔσχατον ὅρον· καὶ ἔοικεν ὃ ἐζήτει Σωκράτης συμβαίνειν· οὐ γὰρ τῆς κυρίως εἶναι δοκούσης ἐπιστήμης παρούσης, γίνεται τὸ πάθος· E οὐδ' αὕτη περιέλκεται διὰ τὸ πάθος, ἀλλὰ τῆς αἰσθητικῆς. περὶ μὲν οὖν τοῦ εἰδότα, καὶ μὴ, καὶ πῶς εἰδότα ἐνδέχεται ἀκρατεύεσθαι, τοσαῦτα εἰρήσθω.

## Κεφάλαιον ς.

Πότερον δ' ἐστί τις ἁπλῶς ἀκρατὴς, ἢ πάντες κατὰ μέρος· καὶ εἰ ἔστι, περὶ F ποῖά ἐστι, λεκτέον ἐφεξῆς. ὅτι μὲν οὖν περὶ ἡδονὰς καὶ λύπας εἰσὶν οἵ τ' ἐγκρατεῖς καὶ καρτερικοὶ, καὶ ἀκρατεῖς καὶ μαλακοὶ, φανερόν. ἐπεὶ δ' ἐστὶ, τὰ μὲν ἀναγκαῖα, τῶν ποιούντων ἡδονήν· τὰ δ', αἱρετὰ μὲν καθ' αὑτὰ, ἔχοντα δ' ὑπερβολὴν, ἀναγκαῖα μὲν, τὰ σωματικά.